ἑαυτῶν συγγράμμασιν, ἀρετῆς ἔπαινον διεξῆλθον, οἷς πειστέον καὶ πειρατέον ἐπὶ τοῦ βίου δεικνύναι τοὺς λόγους. Ὡς ὅ γε τὴν ἄχρι ῥημάτων παρὰ τοῖς ἄλλοις φιλοσοφίαν ἔργῳ βεβαιῶν,

Οἷος πέπνυται· τοὶ δὲ σκιαὶ ἀΐσσουσι.

Καί μοι δοκεῖ τὸ τοιοῦτον παραπλήσιον εἶναι, ὥσπερ ἂν εἰ ζωγράφου θαυμαστόν τι οἷον κάλλος ἀνθρώπου μιμησαμένου, ὁ δὲ αὐτὸς εἴη τοιοῦτος ἐπὶ τῆς ἀληθείας, οἷον ἐπὶ τῶν πινάκων ἐκεῖνος ἔδειξεν. Ἐπεὶ τό γε λαμπρῶς μὲν ἐπαινέσαι τὴν ἀρετὴν εἰς τὸ μέσον καὶ μακροὺς ὑπὲρ αὐτῆς ἀποτείνειν λόγους, ἰδίᾳ δὲ τὸ ἡδὺ πρὸ τῆς σωφροσύνης καὶ τὸ πλέον ἔχειν πρὸ τοῦ δικαίου τιμᾶν, ἐοικέναι φαίην ἂν ἔγωγε τοῖς ἐπὶ σκηνῆς ὑποκρινομένοις τὰ δράματα· οἳ ὡς βασιλεῖς καὶ δυνάσται πολλάκις εἰσέρχονται οὔτε βασιλεῖς ὄντες οὔτε δυνάσται, οὐδὲ μὲν οὖν, τυχόν, ἐλεύθεροι τὸ παράπαν. Εἶτα μουσικὸς μὲν οὐκ ἂν ἑκὼν δέξαιτο ἀνάρμοστον αὐτῷ τὴν λύραν εἶναι· καὶ χοροῦ κορυφαῖος, μὴ ὅτι μάλιστα συνᾴδοντα τὸν χορὸν ἔχειν. Αὐτὸς δέ τις ἕκαστος διαστασιάσει πρὸς ἑαυτὸν καὶ οὐχὶ τοῖς λόγοις ὁμολογοῦντα τὸν βίον παρέξεται, ἀλλ' ἡ γλῶττα μὲν ὁμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος κατ' Εὐριπίδην ἐρεῖ, καὶ τὸ δοκεῖν ἀγαθὸς πρὸ τοῦ εἶναι διώξεται. Ἀλλ' οὗτός ἐστιν ὁ ἔσχατος τῆς ἀδικίας ὅρος, εἴ τι δεῖ Πλάτωνι πείθεσθαι, τὸ δοκεῖν δίκαιον εἶναι, μὴ ὄντα.

CAPUT VII.

Τοὺς μὲν οὖν τῶν λόγων, οἳ τὰς τῶν καλῶν ἔχουσιν ὑποθήκας, οὕτως ἀποδεχώμεθα. Ἐπειδὴ δὲ καὶ πράξεις σπουδαῖαι τῶν παλαιῶν ἀνδρῶν ἢ μνήμης ἀκολουθίᾳ πρὸς ἡμᾶς διασώζονται, ἢ ποιητῶν ἢ συγγραφέων

φυλαττόμεναι λόγοις, μηδὲ τῆς ἐντεῦθεν ὠφελείας ἀπολειπώμεθα. Οἷον, ἐλοιδόρει τὸν Περικλέα τῶν ἐξ ἀγορᾶς τις ἀνθρώπων· ὁ δὲ οὐ προσεῖχε· καὶ εἰς πᾶσαν διήρκεσαν τὴν ἡμέραν, ὁ μὲν ἀφειδῶς πλύνων αὐτὸν τοῖς ὀνείδεσιν, ὁ δέ, οὐ μέλον αὐτῷ. Εἶτα, ἑσπέρας ἤδη καὶ σκότους ἀπαλλαττόμενον μόλις ὑπὸ φωτὶ παρέπεμψε Περικλῆς, ὅπως αὐτῷ μὴ διαφθαρείη τὸ πρὸς φιλοσοφίαν γυμνάσιον. Πάλιν τις Εὐκλείδῃ τῷ Μεγαρόθεν παροξυνθεὶς θάνατον ἠπείλησεν καὶ ἐπώμοσεν· ὁ δὲ ἀντώμοσεν, ἢ μὴν ἱλεώσεσθαι αὐτὸν καὶ παύσειν χαλεπῶς πρὸς αὐτὸν ἔχοντα. Πόσου ἄξιον τῶν τοιούτων τι παραδειγμάτων εἰσελθεῖν τὴν μνήμην, ἀνδρὸς ὑπὸ ὀργῆς ἤδη κατεχομένου; Τῇ τραγῳδίᾳ γὰρ οὐ πιστευτέον ἁπλῶς λεγούσῃ, ἐπ' ἐχθροὺς θυμὸς ὁπλίζει χέρα· ἀλλὰ μάλιστα μὲν μηδὲ διανίστασθαι πρὸς θυμὸν τὸ παράπαν. Εἰ δὲ μὴ ῥᾴδιον τοῦτο, ἀλλ' ὥσπερ χαλινὸν αὐτῷ τὸν λογισμὸν ἐμβάλλοντας, μὴ ἐᾶν ἐκφέρεσθαι περαιτέρω. Ἐπαναγάγωμεν δὲ τὸν λόγον αὖθις πρὸς τὰ τῶν σπουδαίων πράξεων παραδείγματα. Ἔτυπτέ τις τὸν Σωφρονίσκου Σωκράτην εἰς αὐτὸ τὸ πρόσωπον ἐμπεσὼν ἀφειδῶς· ὁ δὲ οὐκ ἀντῆρεν, ἀλλὰ παρεῖχε τῷ παροινοῦντι τῆς ὀργῆς ἐμφορεῖσθαι, ὥστε ἐξοιδεῖν ἤδη καὶ ὑπουλον αὐτῷ τὸ πρόσωπον ὑπὸ τῶν πληγῶν εἶναι. Ὡς δ' οὖν ἐπαύσατο τύπτων, ἄλλο μὲν οὐδὲν ὁ Σωκράτης ποιῆσαι, ἐπιγράψαι δὲ τῷ μετώπῳ λέγεται, ὥσπερ ἀνδριάντι τὸν δημιουργόν, ὁ δεῖνα ἐποίει· καὶ τοσοῦτον ἀμύνασθαι.

Ταῦτα σχεδὸν εἰς ταὐτὸν τοῖς ἡμετέροις φέροντα πολλοῦ ἄξιον εἶναι μιμήσασθαι τοὺς τηλικούτους φημί. Τουτὶ μὲν γὰρ τὸ τοῦ Σωκράτους ἀδελφὸν ἐκείνῳ τῷ παραγγέλματι, ὅτι τῷ τύπτοντι κατὰ τῆς σιαγόνος καὶ τὴν ἑτέραν παρέχειν προσῆκε, τοσούτου δεῖν ἀπαμύνασθαι. Τὸ δὲ τοῦ Περικλέους ἢ τὸ Εὐκλείδου, τῷ τοὺς διώκοντας ὑπομένειν καὶ πράως αὐτῶν τῆς ὀργῆς ἀνέχεσθαι·

καὶ τῷ τοῖς ἐχθροῖς εὔχεσθαι τὰ ἀγαθά, ἀλλὰ μὴ ἐπαρᾶσθαι. Ὡς ὅ γε ἐν τούτοις προπαιδευθείς, οὐκ ἔτ' ἂν ἐκείνοις ὡς ἀδυνάτοις διαπιστήσειεν. Οὐκ ἂν παρέλθοιμι τὸ τοῦ Ἀλεξάνδρου, ὃς τὰς θυγατέρας Δαρείου αἰχμαλώτους λαβών, θαυμαστόν τι οἷον τὸ κάλλος παρέχειν μαρτυρουμένας, οὐδὲ προσιδεῖν ἠξίωσεν· αἰσχρὸν εἶναι κρίνων, τὸν ἄνδρας ἑλόντα, γυναικῶν ἡττηθῆναι. Τουτὶ γὰρ εἰς ταὐτὸν ἐκείνῳ φέρει, ὅτι ὁ ἐμβλέψας πρὸς ἡδονὴν γυναικί, κἂν μὴ τῷ ἔργῳ τὴν μοιχείαν ἐπιτελέσῃ, ἀλλὰ τῷ γε τὴν ἐπιθυμίαν τῇ ψυχῇ παραδέξασθαι οὐκ ἀφίεται τοῦ ἐγκλήματος. Τὸ δὲ τοῦ Κλεινίου, τῶν Πυθαγόρου γνωρίμων ἑνός, χαλεπὸν πιστεῦσαι ἀπὸ ταὐτομάτου συμβῆναι τοῖς ἡμετέροις, ἀλλ' οὐχὶ μιμησαμένου σπουδῇ. Τί δὲ ἦν ὃ ἐποίησεν ἐκεῖνος; Ἐξὸν δι' ὅρκου τριῶν ταλάντων ζημίαν ἀποφυγεῖν, ὁ δὲ ἀπέτισε μᾶλλον ἢ ὤμοσε, καὶ ταῦτα εὐορκεῖν μέλλων· ἀκούσας, ἐμοὶ δοκεῖν, τοῦ προστάγματος, τὸν ὅρκον ἡμῖν ἀπαγορεύοντος.

CAPUT VIII.

Ἀλλ', ὅπερ ἐξ ἀρχῆς ἔλεγον, πάλιν εἰς ταὐτὸν ἐπανίωμεν· οὐ πάντα ἑξῆς παραδεκτέον ἡμῖν, ἀλλ' ὅσα χρήσιμα. Καὶ γὰρ αἰσχρὸν τῶν μὲν σιτίων τὰ βλαβερὰ διωθεῖσθαι, τῶν δὲ μαθημάτων, ἃ τὴν ψυχὴν ἡμῶν τρέφει, μηδένα λόγον ἔχειν, ἀλλ' ὥσπερ χειμάῤῥουν παρασύροντας ἅπαν τὸ προστυχὸν ἐμβάλλεσθαι. Καίτοι τίνα ἔχει λόγον, κυβερνήτην μὲν οὐκ εἰκῇ τοῖς πνεύμασιν ἐφιέναι, ἀλλὰ πρὸς ὕρμους εὐθύνειν τὸ σκάφος· καὶ τοξότην κατὰ σκοποῦ βάλλειν· καὶ μὲν δὴ καὶ χαλκευτικόν τινα ἢ τεκτονικὸν ὄντα τοῦ κατὰ τὴν τέχνην ἐφίεσθαι τέλους· ἡμᾶς δὲ καὶ τῶν τοιούτων δημιουργῶν ἀπολείπεσθαι, πρός γε τὸ συνορᾶν δύνασθαι τὰ ἡμέτερα; Οὐ γὰρ δὴ

τῶν μὲν χειρωνακτῶν ἐστί τι πέρας τῆς ἐργασίας, τοῦ δὲ ἀνθρωπίνου βίου σκοπὸς οὐκ ἔστι, πρὸς ὃν ἀφορῶντα πάντα ποιεῖν καὶ λέγειν χρὴ τόν γε μὴ τοῖς ἀλόγοις παντάπασι προσεοικέναι μέλλοντα; Ἢ οὕτως ἂν εἴημεν ἀτεχνῶς κατὰ τῶν πλοίων τὰ ἀνερμάτιστα, οὐδενὸς ἡμῖν νοῦ ἐπὶ τῶν τῆς ψυχῆς οἰάκων καθεζομένου, εἰκῇ κατὰ τὸν βίον ἄνω καὶ κάτω περιφερόμενοι· ἀλλ' ὥσπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν, εἰ δὲ βούλει, τοῖς μουσικῆς, ἐκείνων εἰσὶ τῶν ἀγώνων αἱ μελέται, ὧνπερ οἱ στέφανοι [πρόκεινται], καὶ οὐδείς γε πάλην ἀσκῶν ἢ παγκράτιον, εἶτα κιθαρίζειν ἢ αὐλεῖν μελετᾷ. Οὔκουν ὁ Πολυδάμας γε, ἀλλ' ἐκεῖνος πρὸ τοῦ ἀγῶνος τοῦ Ὀλυμπιάσι τὰ ἅρματα ἵστη τρέχοντα καὶ διὰ τούτων τὴν ἰσχὺν ἐκράτυνε. Καὶ ὅ γε Μίλων ἀπὸ τῆς ἀληλειμμένης ἀσπίδος οὐκ ἐξωθεῖτο, ἀλλ' ἀντεῖχεν ὠθούμενος οὐχ ἧττον, ἢ οἱ ἀνδριάντες οἱ τῷ μολύβδῳ συνδεδεμένοι. Καὶ ἁπαξαπλῶς αἱ μελέται αὐτοῖς παρασκευαὶ τῶν ἄθλων ἦσαν. Εἰ δὲ τὰ Μαρσύου ἢ τὰ Ὀλύμπου τῶν Φρυγῶν περιειργάζοντο κρούματα, καταλιπόντες τὴν κόνιν καὶ τὰ γυμνάσια, ταχύ γ' ἂν στεφάνων ἢ δόξης ἔτυχον, ἢ διέφυγον τὸ μὴ καταγέλαστοι εἶναι κατὰ τὸ σῶμα; Ἀλλ' οὐ μέντοι οὐδέ ὁ Τιμόθεος τὴν μελῳδίαν ἀφείς, ἐν ταῖς παλαίστραις διῆγεν. Οὐ γὰρ ἂν τοσοῦτον ὑπῆρξεν αὐτῷ διενεγκεῖν ἁπάντων τῇ μουσικῇ, ᾧ γε τοσοῦτον περιῆν τῆς τέχνης, ὥστε καὶ θυμὸν ἐγείρειν διὰ τῆς συντόνου καὶ αὐστηρᾶς ἁρμονίας, καὶ μέντοι καὶ χαλᾶν καὶ μαλάττειν πάλιν διὰ τῆς ἀνειμένης, ὁπότε βούλοιτο. Ταύτῃ τοι καὶ Ἀλεξάνδρῳ ποτὲ τὸ Φρύγιον ἐπαυλήσαντα, ἐξαναστῆσαι αὐτὸν ἐπὶ τὰ ὅπλα λέγεται μεταξὺ δειπνοῦντα, καὶ ἐπαναγαγεῖν πάλιν πρὸς τοὺς συμπότας, τὴν ἁρμονίαν χαλάσαντα. Τοσαύτην ἰσχὺν ἔν τε μουσικῇ καὶ τοῖς γυμνικοῖς ἀγῶσι πρὸς τὴν τοῦ τέλους κτῆσιν ἡ μελέτη παρέχεται.

Ἐπεὶ δὲ στεφάνων καὶ ἀθλητῶν ἐμνήσθην, ἐκεῖνοι μυρία παθόντες ἐπὶ μυρίοις καὶ πολλαχόθεν τὴν ῥώμην ἑαυτοῖς συναυξήσαντες, πολλὰ μὲν γυμναστικοῖς ἐνιδρώσαντες πόνοις, πολλὰς δὲ πληγὰς ἐν παιδοτρίβου λαβόντες, δίαιταν δὲ οὐ τὴν ἡδίστην, ἀλλὰ τὴν παρὰ τῶν γυμναστῶν αἱρούμενοι καὶ τἄλλα, ἵνα μὴ διατρίβω λέγων, οὕτω διάγοντες, ὡς τὸν πρὸ τῆς ἀγωνίας βίον μελέτην εἶναι τῆς ἀγωνίας, τηνικαῦτα ἀποδύονται πρὸς τὸ στάδιον καὶ πάντα πονοῦσι καὶ κινδυνεύουσιν, ὥστε κοτίνου λαβεῖν στέφανον, ἢ σελίνου, ἢ ἄλλου τινὸς τῶν τοιούτων, καὶ νικῶντες ἀναῤῥηθῆναι παρὰ τοῦ κήρυκος. Ἡμῖν δέ, οἷς ἀθλα τοῦ βίου πρόκειται οὕτω θαυμαστὰ πλήθει τε καὶ μεγέθει, ὥστε ἀδύνατα εἶναι ῥηθῆναι λόγῳ ἐπ' ἄμφω καθεύδουσι καὶ κατὰ πολλὴν διαιτωμένοις ἄδειαν, τῇ ἑτέρᾳ λαβεῖν τῶν χειρῶν ὑπάρξει; Πολλοῦ μέντ' ἂν ἄξιον ἦν ἡ ῥᾳθυμία τῷ βίῳ, καὶ ὅ γε Σαρδανάπαλος τὰ πρῶτα πάντων εἰς εὐδαιμονίαν ἐφέρετο, ἢ καὶ ὁ Μαργίτης, εἰ βούλει, ὃν οὔτ' ἀροτῆρα, οὔτε σκαπτῆρα, οὔτε ἄλλο τι τῶν κατὰ τὸν βίον ἐπιτηδείων εἶναι Ὅμηρος ἔφησεν, εἰ δὴ Ὁμήρου ταῦτα. Ἀλλὰ μὴ ἀληθὴς μᾶλλον ὁ τοῦ Πιττακοῦ λόγος, ὃς χαλεπὸν ἔφησεν ἐσθλὸν ἔμμεναι; Διὰ πολλῶν γὰρ δὴ τῷ ὄντι πόνων διεξελθοῦσι μόλις ἂν τῶν ἀγαθῶν ἐκείνων τυχεῖν ἡμῖν περιγένοιτο, ὧν ἐν τοῖς ἄνω λόγοις οὐδὲν εἶναι παράδειγμα τῶν ἀνθρωπίνων ἐλέγομεν. Οὐ δὴ οὖν ῥαθυμητέον ἡμῖν, οὐδὲ τῆς ἐν βραχεῖ ῥᾳστώνης μεγάλας ἐλπίδας ἀνταλλακτέον, εἴπερ μὴ μέλλοιμεν ὀνείδη τε ἕξειν καὶ τιμωρίας ὑφέξειν, οὔ τι παρὰ τοῖς ἀνθρώποις ἐνθάδε (καίτοι καὶ τοῦτο οὐ μικρὸν τῷ γε νοῦν ἔχοντι), ἀλλ' ἐν τοῖς, εἴτε ὑπὸ γῆν, εἴτε καὶ ὅπου δὴ τοῦ παντὸς ὄντα τυγχάνει, δικαιωτηρίοις. Ὡς τῷ μὲν ἀκουσίως τοῦ προσήκοντος ἁμαρτόντι κἂν συγγνώμη τις ἴσως παρὰ τοῦ Θεοῦ γένοιτο· τῷ δὲ ἐξεπίτηδες τὰ χείρω προελομένῳ οὐδεμία παραίτησις τὸ μὴ οὐχὶ πολλαπλασίω τὴν κόλασιν ὑποσχεῖν.

CAPUT IX.

Τί οὖν ποιῶμεν; φαίη τις ἄν. Τί ἄλλο γε, ἢ τῆς ψυχῆς ἐπιμέλειαν ἔχειν, πᾶσαν σχολὴν ἀπὸ τῶν ἄλλων ἄγοντας; Οὐ δὴ οὖν τῷ σώματι δουλευτέον, ὅτι μὴ πᾶσα ἀνάγκη· ἀλλὰ τῇ ψυχῇ τὰ βέλτιστα πορισтέον, ὥσπερ ἐκ δεσμωτηρίου, τῆς πρὸς τὰ τοῦ σώματος πάθη κοινωνίας αὐτὴν διὰ φιλοσοφίας λύοντας, ἅμα δὲ καὶ τὸ σῶμα τῶν παθῶν κρεῖττον ἀπεργαζομένους. Γαστρὶ μέν γε τὰ ἀναγκαῖα ὑπηρετοῦντας, οὐχὶ τὰ ἥδιστα, ὡς οἵ γε τραπεζοποιούς τινας καὶ μαγείρους περινοοῦντες καὶ πᾶσαν διερευνώμενοι γῆν τε καὶ θάλασσαν, οἷόν τινι χαλεπῷ δεσπότῃ φόρους ἀπάγοντες, ἐλεεινοὶ τῆς ἀσχολίας, τῶν ἐν ᾅδου κολαζομένων οὐδὲν πάσχοντες ἀνεκτότερον, ἀτεχνῶς εἰς πῦρ ξαίνοντες καὶ κοσκίνῳ φέροντες ὕδωρ καὶ εἰς τετρημένον ἀντλοῦντες πίθον, οὐδὲν πέρας τῶν πόνων ἔχοντες. Κουρὰς δὲ καὶ ἀμπεχόνας ἔξω τῶν ἀναγκαίων περιεργάζεσθαι, ἢ δυστυχούντων ἐστί, κατὰ τὸν Διογένους λόγον, ἢ ἀδικούντων. Ὥστε καλλωπιστὴν εἶναι καὶ ὀνομάζεσθαι, ὁμοίως αἰσχρὸν ἡγεῖσθαί φημι δεῖν τοὺς τοιούτους, ὡς τὸ ἑταιρεῖν ἢ ἀλλοτρίοις γάμοις ἐπιβουλεύειν. Τί γὰρ ἂν διαφέροι τῷ γε νοῦν ἔχοντι ξυστίδα ἀναβεβλῆσθαι, ἢ τι τῶν φαύλων ἱμάτιον φέρειν, ἕως ἂν μηδὲν ἐνδέῃ τοῦ πρὸς χειμῶνά τε εἶναι καὶ θάλπος ἀλεξητήριον; Καὶ τἄλλα δὴ τὸν αὐτὸν τρόπον μὴ περιττότερον τῆς χρείας κατεσκευάσθαι, μηδὲ περιέπειν τὸ σῶμα πλέον, ἢ ὡς ἄμεινον τῇ ψυχῇ. Οὐχ ἧττον γὰρ ὄνειδος ἀνδρί, τῷ γε ὡς ἀληθῶς τῆς προσηγορίας ταύτης ἀξίῳ, καλλωπιστὴν καὶ φιλοσώματον εἶναι, ἢ πρὸς ἄλλο τι τῶν παθῶν ἀγεννῶς διακεῖσθαι. Τὸ γὰρ τὴν πᾶσαν σπουδὴν εἰσφέρεσθαι, ὅπως ὡς κάλλιστα αὐτῷ τὸ σῶμα ἕξοι, οὐ διαγινώσκοντός ἐστιν ἑαυτόν, οὐδὲ συνιέντος τοῦ σοφοῦ παραγγέλματος· ὅτι οὐ τὸ ὁρώμενόν

ἐστιν ὁ ἄνθρωπος· ἀλλά τινος δεῖ περιττοτέρας σοφίας, δι' ἧς ἕκαστος ἡμῶν, ὅστις ποτέ ἐστιν, ἑαυτὸν ἐπιγνώσεται. Τοῦτο δὲ μὴ καθηραμένοις τὸν νοῦν ἀδυνατώτερον, ἢ λημῶντι πρὸς τὸν ἥλιον ἀναβλέψαι.

Κάθαρσις δὲ ψυχῆς, ὡς ἀθρόως τε εἰπεῖν καὶ ὑμῖν ἱκανῶς, τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάζειν· μὴ ὀφθαλμοὺς ἑστιᾶν ταῖς ἀτόποις τῶν θαυματοποιῶν ἐπιδείξεσιν, ἢ σωμάτων θέαις ἡδονῆς κέντρον ἐναφιέντων, μὴ διὰ τῶν ὤτων διεφθαρμένην μελῳδίαν τῶν ψυχῶν καταχεῖν. Ἀνελευθερίας γὰρ δὴ καὶ ταπεινότητος ἔκγονα πάθη ἐκ τοῦ τοιοῦδε τῆς μουσικῆς εἴδους ἐγγίνεσθαι πέφυκεν. Ἀλλὰ τὴν ἑτέραν μεταδιωκτέον ἡμῖν τὴν ἀμείνω τε καὶ εἰς ἄμεινον φέρουσαν, ᾗ καὶ Δαβὶδ χρώμενος, ὁ ποιητὴς τῶν ἱερῶν ᾀσμάτων, ἐκ τῆς μανίας, ὥς φασι, τὸν βασιλέα καθίστη. Λέγεται δὲ καὶ Πυθαγόραν, κωμασταῖς περιτυχόντα μεθύουσι κελεῦσαι τὸν αὐλητὴν τὸν τοῦ κώμου κατάρχοντα, μεταβαλόντα τὴν ἁρμονίαν, ἐπαυλῆσαί σφισι τὸ Δώριον· τοὺς δὲ οὕτως ἀναφρονῆσαι ὑπὸ τοῦ μέλους, ὥστε τοὺς στεφάνους ῥίψαντας, αἰσχυνομένους ἐπανελθεῖν. Ἕτεροι δὲ πρὸς αὐλὸν κορυβαντιῶσι καὶ ἐκβακχεύονται. Τοσοῦτόν ἐστι τὸ διάφορον ὑγιοῦς ἢ μοχθηρᾶς μελῳδίας ἀναπλησθῆναι. Ὥστε τῆς νῦν δὴ κρατούσης ταύτης ἧττον ὑμῖν μεθεκτέον, ἢ οὑτινοσοῦν τῶν αἰσχίστων. Ἀτμούς γε μὴν παντοδαπούς ἡδονὴν ὀσφρήσει φέροντας τῷ ἀέρι καταμιγνύναι, ἢ μύροις ἑαυτοὺς ἀναχρώννυσθαι καὶ ἀπαγορεύειν αἰσχύνομαι. Τί δ' ἄν τις εἴποι περὶ τοῦ μὴ χρῆναι τὰς ἐν ἁφῇ καὶ γεύσει διώκειν ἡδονάς, ἢ ὅτι καταναγκάζουσιν αὗται τοὺς περὶ τὴν ἑαυτῶν θήραν ἐσχολακότας, ὥσπερ τὰ θρέμματα, πρὸς τὴν γαστέρα καὶ τὰ ὑπ' αὐτὴν συννενευκότας ζῆν;

Ἐνὶ δὲ λόγῳ, πάντως ὑπεροπτέον τοῦ σώματος τῷ μὴ ὡς ἐν βορβόρῳ ταῖς ἡδοναῖς αὐτοῦ κατορωρύχθαι μέλ-

λοντι, ἢ τοσοῦτον ἀνθεκτέον αὐτοῦ, ὅσον, φησὶ Πλάτων, ὑπηρεσίαν φιλοσοφίᾳ κτωμένους, ἐοικότα που λέγων τῷ Παύλῳ, ὃς παραινεῖ μηδεμίαν χρῆναι τοῦ σώματος πρόνοιαν ἔχειν εἰς ἐπιθυμιῶν ἀφορμήν. Ἢ τί διαφέρουσιν οἱ τοῦ μὲν σώματος, ὡς ἂν κάλλιστα ἔχοι, φροντίζουσι, τὴν δὲ χρησομένην αὐτῷ ψυχὴν ὡς οὐδενὸς ἀξίαν περιορῶσι, τῶν περὶ τὰ ὄργανα σπουδαζόντων, τῆς δὲ δι' αὐτῶν ἐνεργούσης τέχνης καταμελούντων; Πᾶν μὲν οὖν τοὐναντίον κολάζειν αὐτὸ καὶ κατέχειν, ὥσπερ θηρίου τὰς ὁρμάς, προσῆκε, καὶ τοὺς ἀπ' αὐτοῦ θορύβους ἐγγινομένους τῇ ψυχῇ οἱονεὶ μάστιγι τῷ λογισμῷ καθικνουμένους κοιμίζειν, ἀλλὰ μὴ πάντα χαλινὸν ἡδονῆς ἀνέντας περιορᾶν τὸν νοῦν, ὥσπερ ἡνίοχον, ὑπὸ δυσηνίων ἵππων ὕβρει φερομένων παρασυρόμενον ἄγεσθαι· καὶ τοῦ Πυθαγόρου μεμνῆσθαι, ὃς τῶν συνόντων τινὰ καταμαθὼν γυμνασίοις τε καὶ σιτίοις ἑαυτὸν εὖ μάλα κατασαρκοῦντα, Οὗτος, ἔφη, οὐ παύσῃ χαλεπώτερον σεαυτῷ κατασκευάζων τὸ δεσμωτήριον; Διὸ δὴ καὶ Πλάτωνά φασι τὴν ἐκ σώματος βλάβην προειδόμενον, τὸ νοσῶδες χωρίον τῆς Ἀττικῆς τὴν Ἀκαδημίαν καταλαβεῖν ἐξεπίτηδες, ἵνα τὴν ἄγαν εὐπάθειαν τοῦ σώματος οἷον ἀμπέλου τὴν εἰς τὰ περιττὰ φορὰν περικόπτοι. Ἐγὼ δὲ καὶ σφαλερὸν εἶναι τὴν ἐπ' ἄκρον εὐεξίαν ἰατρῶν ἤκουσα.

Ὅτε τοίνυν ἡ ἄγαν αὕτη τοῦ σώματος ἐπιμέλεια αὐτῷ τε ἀλυσιτελὴς τῷ σώματι καὶ πρὸς τὴν ψυχὴν ἐμπόδιόν ἐστι· τό γε ὑποπεπτωκέναι τούτῳ καὶ θεραπεύειν, μανία σαφής. Ἀλλὰ μὴν εἰ τούτου γε ὑπερορᾶν μελετήσαιμεν, σχολῇ γ' ἂν ἄλλο τι τῶν ἀνθρωπίνων θαυμάσαιμεν. Τί γὰρ ἔτι χρησόμεθα πλούτῳ τὰς διὰ τοῦ σώματος ἡδονὰς ἀτιμάζοντες; Ἐγὼ μὲν οὐχ ὁρῶ, πλὴν εἰ μή, κατὰ τοὺς ἐν τοῖς μύθοις δράκοντας, ἡδονήν τινα φέροι θησαυροῖς κατορωρυγμένοις ἐπαγρυπνεῖν. Ὅ γε μὴν ἐλευθερίως πρὸς τὰ τοιαῦτα διακεῖσθαι πεπαιδευμένος, πολ-

λοῦ ἂν δέοι ταπεινόν τι καὶ αἰσχρὸν ἔργῳ ἢ λόγῳ ποτὲ προελέσθαι. Τὸ γὰρ τῆς χρείας περιττότερον, κἂν Λύδιον ᾖ ψῆγμα, κἂν τῶν μυρμήκων ἔργον τῶν χρυσοφόρων, τοσούτῳ πλέον ἀτιμάσει, ὅσῳπερ ἂν ἧττον προσδέηται· αὐτὴν δὲ δήπου τὴν χρείαν τοῖς τῆς φύσεως ἀναγκαίοις, ἀλλ' οὐ ταῖς ἡδοναῖς ὁριεῖται. Ὡς οἵ γε τῶν ἀναγκαίων ὅρων ἔξω γενόμενοι, παραπλησίως τοῖς κατὰ τοῦ πρανοῦς φερομένοις, πρὸς οὐδὲν στάσιμον ἔχοντες ἀποβῆναι, οὐδαμοῦ τῆς εἰς τὸ πρόσω φορᾶς ἵστανται· ἀλλ' ὅσῳπερ ἂν πλείω προσπεριβάλωνται, τοῦ ἴσου δέονται ἢ καὶ πλείονος πρὸς τὴν τῆς ἐπιθυμίας ἐκπλήρωσιν, κατὰ τὸν Ἑξηκεστίδου Σόλωνα, ὃς φησι·

Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται.

Τῷ δὲ Θεόγνιδι πρὸς ταῦτα διδασκάλῳ χρηστέον, λέγοντι·

Οὐκ ἔραμαι πλουτεῖν οὐδ' εὔχομαι, ἀλλά μοι εἴη
Ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Ἐγὼ δὲ καὶ Διογένους ἄγαμαι τὴν πάντων ὁμοῦ τῶν ἀνθρωπίνων ὑπεροψίαν, ὅς γε καὶ βασιλέως τοῦ μεγάλου ἑαυτὸν ἀπέφηνε πλουσιώτερον, τῷ ἐλαττόνων, ἢ ἐκεῖνος, κατὰ τὸν βίον προσδεῖσθαι. Ἡμῖν δὲ ἄρα εἰ μὴ τὰ Πυθίου τοῦ Μυσοῦ προσείη τάλαντα, καὶ πλέθρα γῆς τόσα καὶ τύσα, καὶ βοσκημάτων ἑσμοὶ πλείους ἢ ἀριθμῆσαι, οὐδὲν ἐξαρκέσει. Ἀλλ', οἶμαι, προσήκει ἀπόντα τε μὴ ποθεῖν τὸν πλοῦτον, καὶ παρόντος, μὴ τῷ κεκτῆσθαι μᾶλλον φρονεῖν, ἢ τῷ εἰδέναι αὐτὸν εὖ διατίθεσθαι. Τὸ γὰρ τοῦ Σωκράτους εὖ ἔχει· ὃς μέγα φρονοῦντος πλουσίου ἀνδρὸς ἐπὶ τοῖς χρήμασιν, οὐ πρότερον αὐτὸν θαυμάσειν ἔφη, πρὶν ἂν καὶ ὅτι κεχρῆσθαι τούτοις ἐπίσταται πειραθῆναι. Ἡ Φειδίας μὲν καὶ Πολύκλειτος, εἰ τῷ χρυσίῳ μέγα ἐφρόνουν καὶ τῷ ἐλέφαντι, ὧν ὁ μὲν Ἠλείοις τὸν Δία, ὁ δὲ τὴν Ἥραν Ἀργείοις ἐποιησάτην, καταγελάστω ἂν ἦστην ἀλλοτρίῳ πλούτῳ καλλωπιζόμενοι, ἀφέν-

τες τὴν τέχνην, ὑφ' ἧς καὶ ὁ χρυσὸς ἡδίων καὶ τιμιώτερος ἀπεδείχθη· ἡμεῖς δὲ τὴν ἀνθρωπείαν ἀρετὴν οὐκ ἔξαρκεῖν ἑαυτῇ πρὸς κόσμον ὑπολαμβάνοντες, ἐλάττονος αἰσχύνης ἄξια ποιεῖν οἰόμεθα;

Ἀλλὰ δῆτα πλούτου μὲν ὑπεροψόμεθα καὶ τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάσομεν, κολακείας δὲ καὶ θωπείας διωξόμεθα, καὶ τῆς Ἀρχιλόχου ἀλώπεκος τὸ κερδαλέον τε καὶ ποικίλον ζηλώσομεν; Ἀλλ' οὐκ ἔστιν ὃ μᾶλλον φευκτέον τῷ σωφρονοῦντι, τοῦ πρὸς δόξαν ζῆν, καὶ τὰ τοῖς πολλοῖς δοκοῦντα περισκοπεῖν, καὶ μὴ τὸν ὀρθὸν λόγον ἡγεμόνα ποιεῖσθαι τοῦ βίου, ὥστε κἂν πᾶσιν ἀνθρώποις ἀντιλέγειν, κἂν ἀδοξεῖν καὶ κινδυνεύειν ὑπὲρ τοῦ καλοῦ δέῃ, μηδὲν αἱρεῖσθαι τῶν ὀρθῶς ἐγνωσμένων παρακινεῖν. Ἢ τὸν μὴ οὕτως ἔχοντα τί τοῦ Αἰγυπτίου σοφιστοῦ φήσομεν ἀπολείπειν, ὃς φυτὸν ἐγίγνετο καὶ θηρίον, ὁπότε βούλοιτο, καὶ πῦρ καὶ ὕδωρ καὶ πάντα χρήματα; Εἴπερ δὴ καὶ αὐτὸς νῦν μὲν τὸ δίκαιον ἐπαινέσεται παρὰ τοῖς τοῦτο τιμῶσι· νῦν δὲ τοὺς ἐναντίους ἀφήσει λύγους, ὅταν τὴν ἀδικίαν εὐδοκιμοῦσαν αἴσθηται, ὅπερ δίκη ἐστὶ κολάκων. Καὶ ὥσπερ φασὶ τὸν πολύποδα τὴν χρόαν πρὸς τὴν ὑποκειμένην γῆν, οὕτως αὐτὸς τὴν διάνοιαν πρὸς τὰς τῶν συνόντων γνώμας μεταβαλεῖται.

CAPUT X.

Ἀλλὰ ταῦτα μέν που κἂν τοῖς ἡμετέροις λόγοις τελειότερον μαθησόμεθα· ὅσον δὲ σκιαγραφίαν τινὰ τῆς ἀρετῆς, τό γε νῦν εἶναι, ἐκ τῶν ἔξωθεν παιδευμάτων περιγραψώμεθα. Τοῖς γὰρ ἐπιμελῶς ἐξ ἑκάστου τὴν ὠφέλειαν ἀθροίζουσιν, ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν, πολλαὶ γίνεσθαι πολλαχόθεν αἱ προσθῆκαι πεφύκασι. Τὸ γὰρ καὶ σμικρὸν ἐπὶ σμικρῷ κατατίθεσθαι, οὐ μᾶλλον εἰς ἀργυρίου προσθήκην, ἢ καὶ εἰς ἡντιναοῦν ἐπιστήμην ὀρθῶς ἔχειν ἡγεῖσθαι τῷ ποιητῇ προσῆκεν. Ὁ μὲν οὖν Βίας, τῷ υἱεῖ, πρὸς Αἰγυπτίους ἀπαίροντι καὶ πυνθανομένῳ τί ἂν ποιῶν αὐτῷ μάλιστα κεχαρισμένα πράττοι, ἐφόδιον, ἔφη, πρὸς γῆρας κτησάμενος· τὴν ἀρετὴν δὴ τὸ ἐφόδιον λέγων, μικροῖς ὅροις αὐτὴν περιγράφων, ὅς γε ἀνθρωπίνῳ βίῳ τὴν ἀπ' αὐτῆς ὠφέλειαν ὡρίζετο. Ἐγὼ δὲ κἂν τὸ Τιθωνοῦ τις γῆρας, κἂν τὸ Ἀργανθωνίου λέγῃ, κἂν τὸ τοῦ μακροβιωτάτου παρ' ἡμῖν Μαθουσάλα, ὃς χίλια ἔτη, τριάκοντα δεόντων, βιῶναι λέγεται· κἂν σύμπαντα τὸν ἀφ' οὗ γεγόνασιν ἄνθρωποι χρόνον ἀναμετρῇ, ὡς ἐπὶ παίδων διανοίας γελάσομαι, εἰς τὸν μακρὸν ἀποσκοπῶν καὶ ἀγήρω αἰῶνα, οὗ πέρας οὐδέν ἐστι τῇ ἐπινοίᾳ λαβεῖν, οὗ μᾶλλόν γε, ἢ τελευτὴν ὑποθέσθαι τῆς ἀθανάτου ψυχῆς. Πρὸς ὅνπερ κτᾶσθαι παραινέσαιμ' ἂν τὰ ἐφόδια, πάντα λίθον, κατὰ τὴν παροιμίαν, κινοῦντας, ὅθεν ἂν μέλλῃ τις ὑμῖν ἐπ' αὐτὸν ὠφέλεια γενήσεσθαι. Μηδ' ὅτι χαλεπὰ ταῦτα καὶ πόνου δεόμενα, διὰ τοῦτ' ἀποκνήσωμεν· ἀλλ' ἀναμνησθέντας τοῦ παραινέσαντος, ὅτι δέοι βίον μὲν ἄριστον αὐτὸν ἕκαστον προαιρεῖσθαι, ἡδὺν δὲ προσδοκᾶν τῇ συνηθείᾳ γενήσεσθαι, ἐγχειρεῖν τοῖς βελτίστοις. Αἰσχρὸν γὰρ τὸν παρόντα καιρὸν προεμένους, ὕστερόν ποτ' ἀνακαλεῖσθαι τὸ παρελθόν, ὅτε οὐδὲν ἔσται πλέον ἀνιωμένοις.

Ἐγὼ μὲν οὖν ἃ κράτιστα εἶναι κρίνω, τὰ μὲν νῦν εἴρηκα, τὰ δὲ παρὰ πάντα τὸν βίον ὑμῖν ξυμβουλεύσω· ὑμεῖς δὲ, τριῶν ἀῤῥωστημάτων μὴ τῷ ἀνιάτῳ προσεοικέναι δόξητε, μηδὲ τὴν τῆς γνώμης νόσον παραπλησίαν τῇ τῶν εἰς τὰ σώματα δυστυχησάντων δείξητε. Οἱ μὲν γὰρ τὰ μικρὰ τῶν παθῶν κάμνοντες, αὐτοὶ παρὰ

τοὺς ἰατροὺς ἔρχονται· οἱ δὲ ὑπὸ μειζόνων καταληφθέντες ἀῤῥωστημάτων, ἐφ' ἑαυτοὺς καλοῦσι τοὺς θεραπεύσοντας· οἱ δὲ εἰς ἀνήκεστον παντελῶς μελαγχολίας παρενεχθέντες, οὐδὲ προσίενται. Ὅ μὴ πάθητε νῦν ὑμεῖς, τοὺς ὀρθῶς ἔχοντας τῶν λογισμῶν ἀποφεύγοντες.

Anmerkungen.

Τοῦ Μεγάλου Βασιλείου πρὸς τοὺς νέους ὅπως ἂν ἐξ Ἑλληνικῶν ὠφελοῖντο λόγων.

Die Rede iſt an Jünglinge gehalten, die dem Baſilius nahe ſtehen, denn er ſagt: *τῇ τε παρὰ τῆς φύσεως οἰκειότητι εὐθὺς μετὰ τοὺς γονέας ὑμῖν συγχάνω*, er redet ſie auch gleich im Anfang an *ὦ παῖδες*, ſie hat alſo in ſo fern nicht einen allgemeinen Charakter. Daher möchte auch die Ueberſchrift die ſich hie und da findet *ὁμιλία* oder *λόγος* nicht paſſend erſcheinen. (In Cod. Reg. 1 u. 3 ap. Garner.: *ὁμιλία εἰς τοὺς νέους ὅπως ἂν ἐξ Ἑλληνικῶν ὠφελοῖντο λόγων*; in der Basler Ausgabe 1521 *ὁμιλία πρὸς τοὺς νέους ὅπως ἂν* etc., in einer Ausg. von Rom od. Venedig *Βασιλείου τοῦ Μεγάλου λόγος πρὸς τοὺς νέους, πῶς ἂν Ἑλληνικῶν ὠφελοῖντο λόγων*). Es iſt eben eine trauliche Anſprache an befreundete Jünglinge, denen er auch im weitern Verlauf ihres Lebens rathend zur Seite zu ſtehen gedenkt (c. X. s. f. *τὰ δὲ παρὰ πάντα τὸν βίον ὑμῖν ξυμβουλεύσω*).

Ἑλληνικῶν iſt hier, obwohl B. nur die Griechen im Auge hat, nicht blos auf das ſpeciell Griechiſche zu beſchränken, ſondern bezieht ſich auch auf das römiſche Alterthum. „Notissimum est Theologos veteres *Ἕλληνας* appellasse *τοὺς ἐθνικούς*, quos etiam vocabant *τοὺς ἔξωθεν* et *τοὺς ἔξω τῆς ἀληθείας*. Sic *Ἕλλην ὢν τὴν θρησκείαν* Socrat. hist. eccl. lib. 3.“ Potter. So ſetzt auch Juſtinus M. den *ἑλληνισμός* das Heidenthum der chriſtlichen Religion gegenüber. Iust. M. quaest. et. responss. ad orthodoxos resp. 42 (ed. Otto) *εἰ γὰρ εὐπόρει ὁ ἑλληνισμὸς θείας δυνάμεως ὑπερμαχούσης αὐτοῦ καταλυομένου, οὐκ ἂν τῇ ἀνθρωπίνῃ δυνάμει ἐχρήσατο σώζειν ἑαυτόν, μά-*

την προσδοκήσας θεοὺς αὐτοῦ, ἐκ τῆς καταλύσεως. resp. 74 *τίνος δὲ ἕνεκεν προσδοκᾷ ὁ ἑλληνισμὸς τῆς παλαιᾶς αὐτοῦ δυναστείας τὴν ἀνάκλησιν*; II Maccab. 4. 13.

λόγοι sind hier nicht blos Reden, sondern so zu sagen die ganze Litteratur in ihren verschiedenen Gattungen.

CAPUT I.

Πολλά — ἐστι eine bei lateinischen und griechischen Schriftstellern übliche umschreibende Ausdrucksweise; vergl. Goettling ad Arist. pol. I. 2 *τὰ γὰρ ἄλλα ζῶα οὐ λόγου αἰσθανόμενα, ἀλλὰ παθήμασιν ὑπηρετεῖ.* Dazu p. 287: Ad *αἰσθανόμενα* supple *ἐστίν* habesque periphrasticam conjugationem pro *αἰσθάνονται.* Hom. Il. I. 80 *ἐπιστάμενόν περ ἐόντα.* Herod. VIII. 28 *ἀρκέον ἐστίν.* Et sic prae *ἀρκεῖ* plerumque praeferre solent *ἀρκοῦν ἐστιν.*

ξυμβουλεῦσαι Krüg. § 53. 6. 9: der inf. des aor. bezieht sich am gewöhnlichsten in der Bedeutung des Indic. auf die Vergangenheit: *ποιῆσαι* gethan haben. Doch kann auch er zeit- und dauerlos überhaupt das Eintreten einer Handlung, selbst einer künftigen bezeichnen.

ἑλομένοις „wenn ihr es wählt."

ἡλικία wird von jedem Alter gesagt, hier wegen der schon vielfältig gemachten Erfahrungen von einem schon etwas vorgerückteren zu verstehen. Der Gen. *ἡλικίας* hängt ab von *ἔχειν.* Krüg. 47. 10. 5: Auch adv. der Beschaffenheit haben meist mit *ἔχειν* verbunden, das Object an dem man sie gedacht wissen will, im Gen. beigefügt, diesen in der Regel ohne Artikel, also material. Thuc. VII. 57 *ἀλλ' ὡς ἕκαστός τις τῆς ξυντυχίας ἢ κατὰ τὸ συμφέρον ἢ ἀνάγκη ἔσχεν.* Matth. gr. Gr. § 337. Thuc. I. 22 *ὡς ἑκάτερός τις εὐνοίας ἢ μνήμης ἔχοι* „wie jeder einer Partei wohl wollte oder sich an das Geschehene erinnerte."

μεταβολὴ ἐπ' ἄμφω eine Veränderung nach zwei Seiten hin. „Die hinreichende Theilnahme an dem alles erziehenden Wechsel des Glücks und Unglücks." Cic. de offic. II. 6. 19 magnam vim esse in fortuna in utramque partem vel secundas ad res vel adversas quis ignoret? Es ist vielleicht statt *πάντα παιδ.* zu schreiben *πάντας.* Doch das überlieferte *πάντα* giebt auch einen Sinn.

καθισταμένοις τὸν βίον denen, die in die Welt, in das Leben eintreten, die Jünglinge, zu denen B. spricht, sind im Begriff, nachdem sie vorher zu Hause beaufsichtigt worden waren, jetzt in das bürgerliche Leben einzutreten. Herod. IX. 105 *Πανιώνιος, ἀνὴρ Χῖος, ὃς τὴν ζόην κατεστήσατο ἀπ' ἔργων ἀνοσιωτάτων.* IV. 161 *οἷον τρόπον καταστησάμενοι κάλλιστα ἂν οἰκέοιεν καθιστᾶσθαι πόλιν* (rempublicam constituere Wolf. Lept. p. 229.)

ὑποδεικνύναι ist hier nicht unter der Hand, heimlich zeigen, welche Bedeutung ja auch *ὑπὸ* dem Worte gibt, sondern durch Beispiele sichtbar machen, *ὑπογράφειν* vorschreiben Heindorf. ad Plat. Theaet. p. 171. D.

τυγχάνω Hom. od. lib. X. 87

ὃν πέρι πέτρη
ἠλίβατος τετύχηκε διαμπερὲς ἀμφοτέρωθεν,

wozu Eustathius: *κατὰ τύχην ἐστὶ καὶ οὐκ ἐξ ἐπιτεχνήσεως.*

ὑμᾶς δὲ Cod. Gud. *ὑμᾶς τε*, was, da *μήτε* vorangeht, dem lat. neque — et oder que entsprechen würde, im Deutschen: nicht nur nicht — sondern, was also hier auch einen guten Sinn gibt. Kr. § 59 u. § 69. 16. 6: *μήτε — δέ* entsprechen sich, wenn von der Coordination (*τέ*) zum Gegensatz übergegangen wird. Rost Gr. § 134, d.

προθύμως lubenter; Arrian. III. 4. 5. V, 2. 1. VII. 12. 7 *πρὸς θυμοῦ* erwünscht.

τῆς δευτέρας τῶν ἐπαινουμένων ἔσεσθε παρ' Ησιόδῳ τάξεως: ihr werdet der zweiten Ordnung der beim Hesiod gelobten zugehören. Nüsslin: wenn Ihr also meine Worte gern vernehmt, so wird Euch der zweite Rang unter jenen gebühren, welchen H. Lob ertheilt.

Ἡσιόδῳ Opera et dies v. 293 ff.

οὗτος μὲν πανάριστος ὃς αὐτῷ πάντα νοήσῃ
φρασσάμενος τὰ κ' ἔπειτα καὶ ἐς τέλος ἦσιν ἀμείνω·
ἐσθλὸς δ' αὖ κἀκεῖνος ὃς εὖ εἰπόντι πίθηται·

ὅς δέ κε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήϊος ἀνήρ.

Zu dieſer Stelle führt Göttling noch an Liv. XXII, 29. Cic. p. Cluent. c. 31: sapientissimum esse eum dicunt, cui quod opus sit veniat in mentem, proxime accedere illum, qui alterius bene inventis obtemperet. Diog. Laërt. VII. 1. 21. Soph. Antig. 660

πάτερ, θεοὶ φύουσιν ἀνθρώποις φρένας
πάντων ὅσ' ἐστι χρημάτων ὑπέρτατον.

ἐπῶν. ἔπη ſowohl von ganzen Gedichten wie von einzelnen Verſen. Luc. de conscr. hist. c. 19 *ὅσαι μυριάδες ἐπῶν* cfr. ad h. loc. C. Fr. Hermann p. 131: *ἔπη* in ejusmodi nexu non esse vocabula, sed versus vix est quod doceam. Heind. ad Phaedr. p. 268. Schaef. ad Dionys. p. 30.

εἰς διδασκάλους φοιτῶσι. φοιτᾶν allein bedeutet ſchon in die Schule gehen: Arist. nub. 916 *διά σ' οὐ φοιτᾶν οὐδεὶς ἐθέλει τῶν μειρακίων* u. 938. Arist. equit. 1235 *παῖς ὢν ἐφοίτα· ἐς τίνος διδασκάλου*; Arist. nub. 970 *ἐν παιδοτρίβου δὲ καθίζοντας τὸν μηρὸν ἔδει προβαλέσθαι.* nub. 996 *μηδ' εἰς ὀρχηστρίδος εἰσάττειν* Xenoph. Cyr. I. c. II. 6 *οἱ μὲν δὴ παῖδες οἱ εἰς τὰ διδασκαλεῖα φοιτῶντες, διάγουσι μανθάνοντες δικαιοσύνην.* Joh. Chrys. de sacerd. I. 2 *εἰς διδασκάλους μόνον ἐφοιτῶμεν.* In einem Cod. ſteht *εἰς διδασκάλου*, was grammatiſch auch nichts gegen ſich hat. Arist. nub. 665 *εἶτα βαδίζειν ἐν ταῖσιν ὁδοῖς εὐτάκτως ἐς κιθαριστοῦ τοὺς κωμήτας γυμνοὺς ἀθρόους, κεἰ κριμνώδη κατανίφοι*; in den Gedichten Homers *ἐς Ἄιδου*. Vergl. Roſt Gramm. § 104. 18. Zuweilen ſteht auch bei *εἰς* der Gen., welcher durch Auslaſſung eines bekannten Subſtantivbegriffs zu erklären iſt. Am gewöhnlichſten iſt dieß in der Formel *ἐς ᾅδου* (zu erg. *δῶμα*) und nach den Verben, welche kommen, gehen bedeuten, wie *εἰς φίλου, εἰς διδασκάλου* (zu erg. *οἰκίαν*).

παρ' ἐμαυτοῦ von meiner Seite.

εἰς ἅπαξ ein für allemal. Libanius T. IV. 143 *ἧττον εἰς συμφορὰν εἰσάπαξ ἀποθανεῖν ἢ πολλάκις ἐγγὺς ἰέναι τοῦ θανάτου.*

συνέπεσθαι. Cod. Gud. *ξυνέπεσθαι.* Bei Thuc. findet ſich immer *ξύν*. Thuc. I. 1. 2 ed. Krüger; Reissig Conjectan. p. 300: Cur autem *ξύν* dicatur pro *σύν* praeter necessitatem metri, causa esse alia nulla potest, nisi aurium judicium et os ad pronunciandum Atticorum. In his Thucydides semper videtur obtinuisse *ξ*, etiam ubi asperior esset sonus: scenicos poetas aliquid dedisse vocis suavitati arbitror. Kühner ad Xenoph. Comment. I. 2. 18: Xenophon ut ceteri ejusdem aetatis utraque forma *σύν* et *ξύν* promiscue utitur.

πηδάλια τῆς διανοίας. Ein Bild, was bei Plato und Plutarch öfterer wiederkehrt. Bei der Lage Griechenlands und bei der Uebung der Schifffahrt iſt es natürlich, daß Schriftſteller und Dichter dem Seeleben viele Metaphern entlehnten: Aeschyl. s. c. Theb. 1 flg.

Κάδμου πολῖται, χρὴ λέγειν τὰ καίρια,
ὅστις φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως
οἴακα νωμῶν, βλέφαρα μὴ κοιμῶν ὕπνῳ.

Plat. Clitoph. p. 408, 6 *καθάπερ πλοίου παραδόντι τὰ πηδάλια τῆς διανοίας ἄλλῳ, τῷ μαθόντι τὴν τῶν ἀνθρώπων κυβερνητικήν, ἣν δὴ σὺ πολιτικήν, ὦ Σώκρατες, ἐπονομάζεις πολλάκις, τὴν αὐτὴν δὴ τοιαύτην δικαστικήν τε καὶ δικαιοσύνην, ὡς ἔστι λέγων.* Themistius (Philoſoph und Redner unter Julianus und Arcadius) or. p. 13. 14; 387, 25; Plut. de audiendis poetis T. VI. p. 121 (Reiske) *τρόπος ἔσθ' ὁ πείθων τοῦ λέγοντος, οὐ λόγος. καὶ τρόπος μὲν οὖν καὶ λόγος. ἢ τρόπος διὰ λόγου καθάπερ ἵππος διὰ χαλινοῦ καὶ πηδαλίου κυβερνήτης.* Zu vergleichen iſt noch Plat. de republ. 394. D *οὐ γὰρ δὴ ἔγωγέ πω οἶδα, ἀλλ' ὅπῃ ἂν ὁ λόγος ὥσπερ πνεῦμα φέρῃ, ταύτῃ ἰτέον.*

CAPUT II.

οὐδὲν εἶναι χρῆμα παντάπασι τὸν ἀνθρώπινον βίον. Pind. Pyth. VIII. 92 fg.

ἐν δ' ὀλίγῳ βροτῶν
τὸ τέρπνον αὔξεται· οὕτω δὲ καὶ πίτνει χαμαί,
ἀποτρόπῳ γνώμᾳ σεσεισμένον.

Επάμεροι· τί δέ τις; τί δ' οὔ τις; σκιᾶς ὄναρ
ἄνθρωπος. ἀλλ' ὅταν αἴγλα διόσδοτος ἔλθῃ,
λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν καὶ μείλιχος αἰών.

Aesch. fr. 374 Herm.

τὸ γὰρ βρότειον σπέρμ' ἐφ' ἡμέρᾳ φρονεῖ
καὶ πιστὸν οὐδὲν μᾶλλον ἢ καπνοῦ σκιά.

Von der Nichtigkeit des Lebens auch Soph. Aj. 125

ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ', ὅσοιπερ ζῶμεν ἢ κούφην σκιάν.

Wie Soph. über den Werth des Lebens gedacht, darüber vergl. die Sophocleiſche Theologie und Ethik von Dr. Fr. Lübker II. Hälfte S. 4 — 9: *ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον* (13. D.) *οὐδὲν γάρ ἐσμεν πλὴν σκιαῖς ἐοικότες* (682 D.), vor allen Soph. Oed. Col. 1225 *μὴ φῦναι τὸν ἅπαντα νικᾷ λόγον· τὸ δ', ἐπεὶ φανῇ, βῆναι κεῖθεν ὅθεν περ ἥκει, πολὺ δεύτερον, ὡς τάχιστα.* Dazu vergleiche man Theogn. 425

Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον
μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου,
φύντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι
καὶ κεῖσθαι πολλὴν γῆν ἐπαμησάμενον.

u. Lactantius 3. 304 non nasci longe optumum nec in hos scopulos vitae incidere vitae: proxumum autem si natus sis, quam primum tanquam ex incendio fugere. Lobeck Aglaoph. p. 802. Kühner führt zu Cic. Tusc. disp. I de contemn. morte c. 48: affertur etiam de Sileno fabella quaedam, qui cum a Mida captus esset, hoc ei muneris pro sua missione dedisse scribitur: docuisse regem, non nasci homini longe optimum esse; proximum autem quam primum mori. das von Cic. überſ. Fragm. des Eur. (Eur. fragm. p. 436 T. II. ed. Beckii) an:

ἔδει γὰρ ἡμᾶς σύλλογον ποιουμένους
τὸν φύντα θρηνεῖν, εἰς ὅσ' ἔρχεται κάκα,
τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον
χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων.

Dagegen vergleiche man über den den Göttern verhaßten Tod das ſchöne Buch von Nägelsbach üb. die nachhomeriſche Theologie S. 9 flg. Hes. theog. 766. Sappho (Schneidew. del. 85)

ἀποθνάσκειν κακόν· οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν·
ἀπέθνασκον γὰρ ἄν, αἴπερ ἦν καλὸν ἀποθνάσκειν.

Plat. rep. VI. p. 486 A *Ὧι οὖν ὑπάρχει διανοίας μεγαλοπρέπεια καὶ θεωρία παντὸς μὲν χρόνου, πάσης δὲ οὐσίας οἷόν τε οἴει τούτῳ μέγα τι δοκεῖν εἶναι τὸ ἀνθρώπινον βίον*; Eurip. Hippol. 188. 89 *πᾶς δ' ὀδυνηρὸς βίος ἀνθρώπων κοὐκ ἔστι πόνων ἀνάπαυσις.* 1 Joh. II. 15 — 17 *μὴ ἀγαπᾶτε τὸν κόσμον μηδὲ τὰ ἐν τῷ κόσμῳ. ἐάν τις ἀγαπᾶ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ. Ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ ἡ ἐπιθυμία τῆς σαρκὸς καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν καὶ ἡ ἀλαζονεία τοῦ βίου οὐκ ἔστιν ἐκ τοῦ πατρὸς ἀλλ' ἐκ τοῦ κόσμου ἐστί.* Epist. Jac. IV. 14 *ποία γὰρ ἡ ζωὴ ὑμῶν; ἀτμὶς γάρ ἐστιν ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα δὲ ἀφανιζομένη.*

χρῆμα gibt *οὐδὲν* einen beſondern Nachdruck, Arist. nub. 815 *χρῆμα τί πάσχεις*; pax 38 *μιαρὸν τὸ χρῆμα καὶκάκοσνον καὶ βόρον.* Eur. fragm. 146 *γυναικὶ τεχθρὸν χρῆμα πρεσβύτης ἀνήρ.* Theocr. id. 15. 83 *σοφόν τι χρῆμα ὦνθρωπος.* In etwas anderer Art ſteht χρ. bei einem gen. „den Klaſſikern ein vielſeitiger Ausdruck körperhafter gedrungener Maſſe und Qualität" Bernh. Synt. S. 52 *συὸς μέγα χρῆμα*, beſonders häufig bei Aristoph. nub. 2 *νύκτων χρῆμα ὅσον ἀπέραντον.* aves 791 *λιπαρὸν τὸ χρῆμα τῆς πόλεως.* vesp. 900 *κλέπτον τὸ χρῆμα τ'ανδρὸς* (Spitzbubenkerl). Ach. 150 *ὅσον τὸ χρῆμα παρνόπων προσέρχεται.* Eurip. Androm. 181 *ἐπίφθονον τί χρῆμα θηλειῶν ἔφυ*, wozu Pflugk zu vergl. Bei ſpätern Schriftſtellern noch häufiger: Dio Chrys. VIII. 283 R *τοιοῦτόν ἐστι τὸ χρῆμα τῆς ἡδονῆς.*

ὃ τὴν συντέλειαν ἡμῖν ἄχρι τούτου παρέχεται was ſeine Beſtimmung bis zu dieſem (*ἀνθρ. βίος*) für uns aufweiſt — das betrachten wir weder überhaupt für etwas gutes noch nennen wir es ſo. N.: „deſſen ganze Beſtimmung für uns nur bis zu dieſem Ziele reicht." Der Redner berührt hier, wie man auch aus dem Folgenden erſieht, die Verſchiedenheit der Weltanſchauung der Chriſten und der Heiden: Der Chriſt richtet ſeinen Blick auf das Jenſeits und die Pflege des inwendigen, Gott wohlgefälligen Menſchen: Ep. ad Col. 3. 1 — 5 *Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ κα-*

θήμενος. Τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς. Ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ et seq. Ep. II ad Corinth. 4, 18 *μὴ σκοποῦντων ἡμῶν τὰ βλεπόμενα ἀλλὰ τὰ μὴ βλεπόμενα. τὰ γὰρ βλεπόμενα πρόκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια.* I Epist. ad Cor. 17 *Εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ θεός. ὁ γὰρ ναὸς τοῦ θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς.* I Ep. Petri 2 — 4 *ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν. Ὧν ἔστω οὐχ ὁ ἔξωθεν, ἐμπλοκῆς τριχῶν καὶ περιθέσεως χρυσίων ἢ ἐνδύσεως ἱματίων, κόσμος. Ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου πνεύματος ὅ ἐστιν ἐνώπιον τοῦ θεοῦ πολυτελές.* Ep. ad Phil. 3. 8... *πάντα σκύβαλα εἶναι ἵνα Χριστὸν κερδήσω.* Epist. Jacob. 4. 4. Epist. ad Rom. 12. 2 *μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν εἰς τὸ δοκιμάζειν ὑμᾶς, τί τὸ θέλημα τοῦ θεοῦ, τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον.*

Die Griechen und Römer dagegen dachten ganz anders. Hom. Il. VI. Cic. pro Arch. poeta c. 6 Nam nisi multorum praeceptis multisque litteris mihi ab adolescentia suasissem nihil esse in vita magnopere expetendum nisi laudem atque honestatem, in ea autem persequenda omnes cruciatus corporis omnia pericula mortis atque exilii parvi esse ducenda; nunquam me pro salute vestra in tot ac tantas dimicationes atque in hos profligatorum hominum quotidianos impetus objecissem.

οὔκουν also nicht Kr. § 69. 51. A. 2, in andern Ausg. *οὐκοῦν*. Dieses setzt eigentl. fragend die Bestätigung des Erfragten voraus: also nicht? nun nicht? Da aber der Redende so in der That seine eigne Meinung ausspricht, so erhielt *οὐκοῦν* eine versichernde Bedeutung: also, sonach. Herm. ad Viger. p. 794 flg.

ἄξιον κρίνομεν: im Cod. Colbert. tert. ist *εἶναι* dazwischen gesetzt. Krüg. § 55. 4. Zuweilen erscheinen Activa von Verben der Vorstellung und Aeußerung ohne Inf. blos mit zwei Accusativen wie *δοκεῖν*, u. Passiva blos mit zwei Nominativen, wobei man ohne Noth *εἶναι* zu ergänzen pflegt, da jene Verba auch an sich ein Prädicat einem Subject anfügen können. Matth. gr. Gr. § 534 b. A. 1.

πρὸς ἑτέρου βίου παρασκευήν: vergl. Anm. S. 27 flg. und Ev. Matth. 6. 33 *ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.*

ἃ μὲν οὖν συντελῇ πρὸς τοῦτον — τὰ δ' οὐκ ἐξικνούμενα stehen *ἐκ παραλλήλου*, *ἐξικνεῖσθαι* wird mit *εἰς — ἐπί — πρός τι* oder mit dem bloßen Gen. verb. (Seidler ad Eur. Electr. 607), Gregor.: *καὶ οὐκ ἐξικνοῦνται τῇ διανοίᾳ πρὸς τὰ ἐκεῖθεν*, non perveniunt cogitatione ad coelestia. Zu vergl. II Epist. ad Corinth. 4. 16. 17 *ἀλλ' εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν.* cap. 5. 10.

ὅπη καὶ ὅπως wo u. wie. Herm. ad Viger. p. 789: *πῇ* et *ὅπῃ* simul et motum talem et quietem isto in loco quo quis tendit significant, unde *πῇ στῶ* dicitur i. e. quo eam ibique consistam.

αὐτὸν βιωσόμεθα. Kr. § 46. 5. Häufiger als in andern Sprachen wird im Griech. mit Verben aller Art ein stamm- oder sinnverwandter Accus. verbunden, sowohl wo er als transitives Object dasteht, als wo er den Gegenstand bezeichnet, über den als ihren Inhalt die Handlung sich erstreckt: Acc. des Inhalts. Matth. Gramm. § 408, Nägelsb. Anm. z. Ilias II. Ausg. S. 174. Häufig ist dieser Gebrauch bei Aristophanes, wo er oft einen komischen Zug beimischt. Arist. vesp. 455 *βλέπειν κάρδαμα*. Acharon. 254 *βλέπουσα θυμβροφάγον*. Ran. 562 *ἔβλεψεν εἴς με δριμύ*. equit. 631 *ἔβλεψε νᾶπυ*. ran. 604 *βλέπειν ὀρίγανον*.

μειζόνων δὲ ἢ καθ' ὑμᾶς ἀκροατῶν ἀκοῦσαι. Natürlich steht dieß dem *μικρότερον μέν* gegenüber: einmal ist es zu weitläufig, als daß ich bei dem gegenwärtigen Vorhaben die Bedeutung des Lebens erörtere, und dann ist es auch die Sache älterer Zuhörer, als ihr seid, dieß anzuhören. *ἐφικέσθαι* und *ἀκοῦσαι* entsprechen sich. *μείζονες* sind hier adultiores, im Gegensatz dazu heißt *ὀλίγος* jung. Il. II. 529. Kr. § 49. 4. Wenn die Eigenschaft durch ihr Uebermaaß in Bezug auf einen Begriff als unangemessen vorgestellt wird, so folgt dem Compar. *ἢ κατὰ* u. d.

Acc. Plat. Cratyl. p. 392 A *ταῦτα μείζω ἐστὶν ἢ κατ' ἐμὲ καὶ σὲ ἐξευρεῖν.* Matth. § 449.

ἀφ' οὗ. Kr. § 68. 16. 1. *ἀπὸ* bezeichnet local und temporal bei Begriffen der Ruhe wie der Bewegung, von wo etwas ausgeht. Weiter unten *κἂν σύμπαντα ἀφ' οὗ γεγόνασιν ἄνθρωποι χρόνον ἀναμετρῇ.*

πολλοστῷ μέρει: *πολλοστὸν μέρος* der vielmalste Theil, also ein geringer, dem *πολλαπλάσιος* vielmal so viel entgegenstehend, Gegensatz *ὀλιγοστός* einer von wenigen, aber auch sehr geringe. Kr. § 23. 7. 3. Xeneph. Mem. III. 1. 6 *τοῦτό γε πολλοστὸν μέρος ἐστὶ στρατηγίας.* IV. 6. 4 *Ἆρ' οὖν δοκεῖ σοι ἀνθρώπῳ δυναιὸν εἶναι τὰ ὄντα πάντα ἐπίστασθαι; Οὐδὲ μὰ Δί' ἔμοιγε πολλοστὸν μέρος αὐτῶν.*

τὰ σύμπαντα τῶν τῇδε καλῶν d. i. die Gesammtheit der irdischen Güter. *καλά* ist der Inbegriff dessen, was dem Leben Reiz und Anmuth verleiht, daher G. Hermann die bekannte Stelle des Dichters: Das ist das Loos des Schönen auf der Erde fein übersetzt: *τοίοσδ' ὁ πότμος τῶν ἐν ἀνθρώποις καλῶν.*

κατὰ τὴν ἀξίαν nach (pro) seinem wahren Werthe.

ἢ κάθοσον σκιὰ καὶ ὄναρ τῶν ἀληθῶν ἀπολείπεται als in wie weit ein Schatten und Traum hinter der Wahrheit (Wirklichkeit) zurückbleibt. *παρ' ὅσον* Luc. de hist. conscr. c. 45. Kr. § 47. 18. 19. Maaßbestimmend ist der G. bei den (comparativischen) Verben der Superiorität und Inferiorität: comparativer G. Hieran schließt sich der Gen. bei mehrern Verben, die ein Uebertreffen, Ueberwinden, Nachstehen bezeichnen. Luc. de histor. conscr. c. 45 *ἄμεινον οὖν ἐφ' ἵππου ὀχουμένῃ τότε τῇ γνώμῃ τὴν ἑρμηνείαν πεζῇ συμπαραθεῖν ἐχομένην τοῦ ἐφιππίου, ὡς μὴ ἀπολείποιτο τῆς φορᾶς.* ibique C. Fr. Hermann.: *ἀπολείπεσθαί τινος* pone ab aliquo deseri i. e. sequi non posse strenue praecedentem. Matth. § 357.

τοῖς πᾶσι. οἱ πάντες d. Gesammtheit. Kr. § 50. 11. Anm. 11.

τῶν βίων ἑκατέρων. Xenoph. Anab. III. 2. 36 *ἐπὶ τῶν πλευρῶν ἑκατέρων*, wozu Kr. bemerkt: erwarten würde man *ἑκατέρας*, doch jede Seite kann leicht mehrheitlich gedacht werden. Thuc. 4. 96 *ἑκάτερα τὰ στρατόπεδα.* Poppo observ. crit. Thuc. p. 28.

ἱεροὶ λόγοι. Die heiligen Schriften leiten uns auf die Betrachtung des jenseitigen Lebens.

δι' ἀποῤῥήτων ἡμᾶς ἐκπαιδεύοντες durch Geheimnisse uns erziehend. Das Wesen des Glaubens beruht ja gerade in dem *μυστήριον* Eph. 5. 31 *τὸ μυστήριον τοῦτο μέγα ἐστίν. ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. δογμάτων*, was Codd. Colbert. sec. et tert. hinzufügen, ist ohne Zweifel ein glossema. *ἀπόῤῥητα* bezeichnet in Athen Waaren, Bauholz, Pech, Wachs, Tauwerk, Flachs, Dinge, welche für die Ausrüstung der Flotte vorzüglich wichtig waren, deren Ausfuhr verboten war. Böckh Staatsh. I. 76. Plat. de rep. II. 378. A *τὰ δὲ δὴ τοῦ Κρόνου ἔργα καὶ πάθη ὑπὸ τοῦ υἱέος, οὐδ' ἄν, εἰ ἦν ἀληθῆ, ᾧμην δεῖν ῥαδίως οὕτω λέγεσθαι πρὸς ἄφρονάς τε καὶ νέους, ἀλλὰ μάλιστα μὲν σιγᾶσθαι, εἰ δὲ ἀνάγκη τις ἦν λέγειν δι' ἀποῤῥήτων ἀκούειν ὡς ὀλιγίστους.* Außerdem vergl. Stallbaum zu Plat. Phaed. 62 B *ὃ μὲν οὖν ἐν ἀποῤῥήτοις λεγόμενος περὶ αὐτῶν λόγος* etc.

ὑπὸ τῆς ἡλικίας: oben hieß es *μειζόνων ἢ καθ' ὑμᾶς ἀκροατῶν.*

ἐπακούειν τοῦ βάθους τῆς διανοίας αὐτῶν die Tiefe des Sinnes der heiligen Bücher erlauschen, d. h. verstehen. *βάθος* wird im Gr. gerade so gebraucht wie im Deutsch. Plat. Theaet. p. 183 E *συμπροσέμιξα γὰρ τῷ δὴ ἀνδρὶ πάνυ νέος πρεσβύτῃ καί μοι ἐφάνη βάθος τι ἔχειν παντάπασι γενναῖον.* Polyb. VI. 24. 9 *βαθὺς τῇ ψυχῇ.* I. Cor. II. 10 *τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ θεοῦ.* Ep. ad Rom. 11. 33 *ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.* Joh. Chrysostomus hom. I ad pop. Antiochenum vol. I. ed. Paris. p. 4 *ἴδετε πρὸς πόσον βάθος κατηγάγομεν τὸν λόγον; πῶς τὸ δοκοῦν μικρὸν εἶναι μυρίων γέμει ζητημάτων*; videtis ad quam abstrusas res orationem deduxerimus? quomodo quod parvum esse videtur innumeris scateat quaestionibis? Joh. Chrys. Serm. 63. vol. 5 ed. Par. p. 945 *διὰ τοῦτο καὶ συνεχῶς ὑμῖν ταῦτα παρακελευόμεθα ὥστε πρὸς*

τὸ βάθος τῆς διανοίας ὑμῶν καταβῆναι τὰ λεγόμενα. Propterea vos etiam ad hoc frequenter exhortamur ut ea quae dicuntur in vestris mentibus alte defigantur. Bas. M. in martyrem Iul. p. 381 στεναγμὸς ἐκ βάθους καρδίας ἀναπεμπόμενος. Bas. in inst. Hom. 2. in Hexaem. p. 16 μικροῖς ἔωθεν ἐνδιατρίψαντες ῥήμασι τοσοῦτον ἀποκεκρυμμένον τὸ βάθος τῆς διανοίας εὕρομεν ὥστε τῶν ἐφέξης παντελῶς ἀπογνῶναι.

ὥσπερ ἐν σκιαῖς τισι καὶ κατόπτροις. Plat. Phaed. 100. D. Polit. 6. 510. A. 7. 516. Jahnius (animadversiones in S. Basilii M. opera fasc. I. p. 145) nimirum his locis Platonem secutus eam declaravit rationem divina contemplandi, cum nondum ipsa intuemur sed pro infirmitate mentis, imaginibus coelestium adhaeremus in iisque haud aliter ac solem in aquis divinam naturam contemplamur.

προγυμναζώμεθα Cod. Gud. ſonſt προγυμναζόμεθα.

ἐν χειρονομίαις καὶ ὀρχήσεσι. χειρονομῆσαι τὸ ταῖν χεροῖν ἐν ῥυθμῷ κινηθῆναι. Poll. onom. II. 153. ὀρχήσεις ſind Waffentänze, ἐνόπλιοι ὀρχήσεις, ἐνόπλια παίγνια. Plat. de legg. VII p. 796 B. Plat. de legg. VII. p. 815 A πρύλις, κάπρια, κωμιστική, ξιφισμός, τελεσιάς. Vergl. Beckers Charicles I. 499 flg. Weil bei den Tänzern vorzugsweiſe die Arme und Hände es waren, in welche der meiſte Ausdruck gelegt wurde, heißen die Tänzer auch χειρόσοφοι und χειρονόμοι. Ducäus gibt den Sinn dieſer Stelle richtig: Basilius hoc dicit: Christianum ita adjuvari profana poetarum et oratorum doctrina, ut milites gesticulandi saltandique arte in suis exercitationibus adjuvantur.

ἀγῶνα προκεῖσθαι πάντων ἀγώνων μέγιστον νομίζειν χρεών. προκεῖσθαι häufig gebraucht von dem, was einem bevorſteht. Soph. Ant. v. 34

καὶ τὸ πράγμ' ἄγειν
οὐχ ὡς παρ' οὐδέν, ἀλλ' ὅς ἂν τούτων τι δρᾷ,
φόνον προκεῖσθαι δημόλευστον ἐν πόλει.

Xenoph. Cyrop. lib. II. c. 3 καὶ οὕτω τὰ τῶν νικωμένων πάντα τοῖς νικῶσιν ἀεὶ ἆθλα πρόκειται. Epist. ad Hebr. XII. 1. τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περι-

κείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον ἁμαρτίαν δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα. Chrys. Homil. T. V. p. 591 ἀγών ἐστι καὶ πάλη ὁ παρὼν βίος, καὶ τοὺς ἐν τῷ σταδίῳ τούτῳ τῆς ἀρετῆς ἅπαξ εἰσελθόντας προσήκει πάντα ἐγκρατεύεσθαι; der Freund und Schüler des Chryſoſt. Iſidorus von Peluſium (geſt. 440) ſchreibt dem Diaconus Olympius lib. II. 24 δῆλον μὲν γὰρ ὅτι τῶν μὲν ἀγώνων καὶ τῶν ἄθλων στάδιόν ἐστιν ὁ παρὼν βίος. τῶν δὲ στεφάνων καὶ τῶν ἐπάθλων ὁ μέλλων. — χρεών (Roſt § 47) verändert ſeine Form nie; Matth. Gramm. § 255 Anm. 2.

εἰς δύναμιν quoad possumus, pro viribus, pro virili parte. Plat. de rep. IV. p. 427 E σὺ γὰρ ὑπέσχου ζητήσειν ὡς οὐχ ὅσιόν σοι ὂν μὴ οὐ βοηθεῖν δικαιοσύνῃ εἰς δύναμιν παντὶ τρόπῳ. de legg. III p. 697 B πόλιν... τὴν μέλλουσαν..εὐδαιμονήσειν εἰς δύναμιν ἀνθρωπίνην.

ἐπὶ τὴν τούτου παρασκευήν. Zur Vorbereitung auf dieſen den Chriſten bevorſtehenden Kampf muß man mit allen Menſchen in Verbindung treten, von denen man für ſein Seelenheil einen Nutzen erhoffen kann. Man ſieht hieraus, wie ernſt B. von dem Chriſten geprüft wiſſen will.

λογοποιοῖς. λογοπ. ſind nicht, wie Sturz will, Fabeldichter, wie Aeſopus, Phädrus, Syntipas, ſondern es bedeutet ganz das, was ſonſt λογογράφοι und bildet den Gegenſatz von ἐποποιός Herod. II. 143 Ἑκαταίῳ τῷ λογοποιῷ. ibid. V. 36 Ἑκαταῖος λογοποιός. Weiter unten werden ποιηταί und συγγραφεῖς mit einander verbunden. Arrian. anab. II. 16. 5 Ἑκαταῖος ὁ λογοποιὸς λέγει (Kr.: λογοπ. herodoteiſch für συγγραφεύς). ib. III. 30. 8 Ἡρόδοτος ὁ λογοποιός. IV. 47 u. 57.

ὥσπερ οὖν οἱ δευσοποιοί. Bei dieſer Stelle mochte dem Baſilius die Stelle Platons vorſchweben de rep. IV. p. 429 οὐκοῦν οἶσθα, ἦν δ' ἐγώ, ὅτι οἱ βαφεῖς, ἐπειδὰν βουληθῶσι βάψαι ἔρια ὥστ' εἶναι ἁλουργά, πρῶτον μὲν ἐκλέγονται ἐκ τοσούτων χρωμάτων μίαν φύσιν τὴν τῶν λευκῶν, ἔπειτα προπαρασκευάζουσιν οὐκ ὀλίγῃ παρασκευῇ θεραπεύσαντες, ὅπως δέξεται ὅ τι μάλιστα τὸ

ἄνθος, καὶ οὕτω δὴ βάπτουσι. Jamblichus vit. Pythag. c. 17.

ἄν τε ἀλουργόν, ἄν τέ τι ἕτερον ἦ. τέ—τέ coordinirt: sowohl — wie, einerseits — andrerseits. Krüger § 69. 59.

εἰ μέλλει. Der Optat. würde hier nicht passend erscheinen, deshalb hat Sinner den Indic. corrigirt.

ἀνέκπλυτος. Jahn animadv. in Bas. Fasc. I. p. 132. hom. in Ps. 33 T. 1. p. 147 C. ἀεὶ ἐν ὀφθαλμοῖς ἔχοντες τὰ ἴχνη τῆς ἐν σαρκὶ ἁμαρτίας, οἱονεί τινος βαφῆς ἀνεκπλύτου.

τοῖς ἔξω δὴ τούτοις προτελεσθέντες. οἱ ἔξωθεν begreift die Heiden in sich: 1 Cor. V. 12 τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε; τοὺς δὲ ἔξω ὁ θεὸς κρίνει. Coloss. IV. 5. I. Tim. III. 7. Heß bemerkt: Litterae artesque gentilium appellantur disciplinae externae, ut infra c. 3 sapientia quae paritur lectione scriptt. ethnicorum ἡ θύραθεν σοφία et μαθήματα τὰ ἔξωθεν; ap. Chrys. Hom. I. ad Antioch. p. 3 ἡ ἔξωθεν παίδευσις. Hieronym. epist. 84 ad Magnum oratorem Romanum hanc *sapientiam* appellat *saecularem*. ἔξωθεν λόγος intelliguntur litterae disciplinaeque omnes nihil ad scripta evangelica pertinentes. Matthiae ad Joh. Chrys. Homil. III: οἱ ἔξω sunt qui aliis muneribus et officiis, civilibus nimirum, non ecclesiasticis funguntur. προτελεσθέντες: προτελέω eigentl. ad initiationem praeparare, dann aber auch so viel wie προπαιδεύεσθαι praeinstituere, ut quum docemus aliqua minora antequam ad majora veniamus. Plat. de rep. 7 p. 536. D. Clemens Alex. p. 484 προπαιδεύει ἡμᾶς εἰς τὴν περιποίησιν τῆς ἐγκρατείας. Luc. rhetor. praec. 14 μᾶλλον δὲ ἤδη προχώρει μηδὲν ὀκνήσας μηδὲ πτοηθείς, εἰ μὴ προετελέσθης ἐκεῖνα τὰ πρὸ τῆς ῥητορικῆς, ὁπόσα ἡ ἄλλη προπαιδεία τοῖς ἀνοήτοις καὶ ματαίοις μετὰ πολλοῦ καμάτου ὁδοποιεῖ.

CAPUT III.

οἰκειότης πρὸς ἀλλήλους τοῖς λόγοις wenn nun wirklich eine Verwandtschaft zwischen den heidnischen und christlichen Lehren statt findet.

προὔργου ἂν ἡμῖν αὐτῶν ἡ γνῶσις γένοιτο. προὔργου entst. aus πρὸ ἔργου, für das Werk, das was zur Erreichung einer Absicht, eines Werkes erforderlich ist. Arist. Plut. 622

καὶ μὴ διατρίβωμέν γε, μὴ πάλιν τις αὖ
ἐλθὼν διακωλύσῃ τι τῶν προὔργου ποιεῖν.

Eur. Iphig. T. 310 ὡς δ' ἐσείδομεν προὔργου πεσόντα. Rost Gramm. § 121 A. D. Bedingung wird rein objectiv ausgesprochen. Im Vordersatz steht εἰ mit Ind. des erforderlichen Tempus, der Optat. mit ἄν, wenn die Folge als ein muthmaßliches Ergebniß vorgestellt wird. Krüg. § 54. 3. 6. u. § 65. 5. 2.

εἰ δὲ μή. B. meint also, durch eine Parallele des Christenthums und des Heidenthums würde man inne werden, um wie viel höher das Christenthum stehe, und würde in den Lehren desselben fester werden. εἰ δὲ μὴ steht häufig ohne Verbum, z. B. nach μάλιστα μέν, am liebsten, was am besten ist. Zuweilen ist dabei ein blos dem Zusammenhange gemäßes Verbum zu denken. Kr. § 65. 5. 12.

τῶν παιδεύσεων ἑκατέραν, die christliche und heidnische Erziehungsweise.

ἦπου. Vergl. Sauppe in Lycurgi orat. reliqu. p. 119: Dicitur sine interrogatione, tum sine ironia: Plat. Gorg. p. 469 B ἦ που ὅ γε ἀποθνήσκων ἀδίκως ἐλεεινός τε καὶ ἄθλιός ἐστιν. Aehnl. Vergleich bei Plut. Symp. p. 562 vol. VIII.

φύλλα τοῖς κλάδοις περισειόμενα Blätter, die die Zweige umrauschen.

προηγουμένως, praecipue. Bei Plat. und andern Philosophen ist der Gebrauch dieser Art Adverb. sehr häufig, insbesondere auch noch bei B., wie man aus Jahn animadv. in S. Bas. M. opera fasc. I. p. 138 ersieht: κεκρυμέ-

νως, κεκομψευμένως, ἠκριβομένως, προκαθηγουμένως u. ſ. w.

ἡ ἀλήθεια. Ev. Joh. 8. 32 *καὶ γνώσεσθε τὴν ἀλήθειαν καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς.* II Cor. 4. 2.

θύραθεν σοφία. Vergl. cap. II. (S. 34).

Der ganze Vergleich von *ἥπου* bis *παρεχόμενα* kommt auch in der Rede des B. *περὶ ψυχῆς* zieml. am Ende wieder vor.

ἐκεῖνος ὁ πάνυ jener berühmte. Thuc. VIII. 1 *ἐς δὲ τὰς Ἀθήνας ἐπειδὴ ἠγγέλθη ἐπὶ πολὺ μὲν ἠπίστουν καὶ τοῖς πάνυ τῶν στρατιωτῶν ἐξ αὐτοῦ τοῦ ἔργου διαπεφευγόσι καὶ σαφῶς ἀγγέλλουσι* etc. *τοῖς πάνυ* den ausgezeichnetſten. VIII. 89. 2 *οἱ πάνυ στρατηγοί.* G. Hermann de ell. et pleon. p. 122. Roſt Gramm. § 98. 4. 9. Bernhardy wiſſ. Synt. S. 323. Act. 7. 22 *καὶ ἐπαιδεύθη Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων. ἦν δὲ δυνατὸς ἐν λόγοις καὶ ἐν ἔργοις αὐτοῦ.* Chrys. homil. 160 Tom. V. p. 966 *ὁ μέγας καὶ θεῖος τοῦ θεοῦ νομοθέτης, ὁ τὰς πλάκας τὰς ἱερὰς δεξάμενος, ὁ πρῶτος εἰσηγητὴς τῶν συμφερόντων τῷ βίῳ.* hom. 129 *ὁ τοῦ θεοῦ θεράπων, τὸ κεφάλαιον τῶν προφητῶν, ὁ τῆς θαλάττης ὁδοιπόρος, ὁ τοῦ ἀέρος ἡνίοχος, ὁ τοῦ μάννα τραπεζοποιός.* Clem. Alex. Strom. I. p. 343 sq.

θεωρία τοῦ ὄντος die Erkenntniß des Wahren. Stallbaum ad Plat. remp. I. p. 337 B *ὄν* i. q. *ὄντως ὄν* s. *ἀληθὲς ὄν.* B. comm. in Esai. T. 1. p. 382 heißt es auch von Moſes *ἐπὶ τὰς ἐρημίας ἀναχώρησας τῇ θεωρίᾳ τῶν ὄντων ἀπεσχόλασε.*

τοῖς κάτω χρόνοις in den ſpätern Zeiten. Krüg. 50. 5. Thuc. VIII. 5 *καὶ παρὰ Τισσαφέρνους, ὃς βασιλεῖ Δαρείῳ τῷ Ἀρταξέρξου στρατηγὸς ἦν τῶν κάτω.* ib. II. 120. 2. In unſerer Stelle iſt *κάτω* natürlich von der Zeit zu verſtehen.

σοφὸς Δανιήλ. D., der 607 von Nebukadnezar nach Babel abgeführt wurde (vergl. Daniel C. 1.), wurde in chaldäiſcher Weisheit unterrichtet. Luc. Philops. c. 11 flg. Hermot. c. 6. Schol. ad dial. Deor. Jacob. IV. p. 71 *οἱ Χαλδαῖοι δι' ὀνειράτων ἐμαντεύοντο.* Jahn l. c. p. 191. Nonnus Gregorii Naz. enarrator. Cod. Bern. 446 f. 70 a *Χαλδαῖοι δὲ περὶ τὴν ἀστρολογίαν ἠσχολοῦντο καὶ περὶ τὴν γενεθλιαλογίαν, ἥτις καταγίνεται περὶ τὰς γεννήσεις τῶν ἀνθρώπων καὶ τοῖς τοιοῖσδε σχηματισμοῖς αὐτῶν* (l. *τῶν ἄστρων*) *συμπεριφέρεσθαι* (i. e. accommodari) *τὸν βίον τῶν γεννωμένων* (?) *δογματίζειν — ἐπαγγέλλονται.* Ueber die Chaldäer, ein urſprünglich nomadiſches Volk, deſſen Wohnſitze wahrſcheinlich in den armeniſchen und karduchiſchen Gebirgen waren, vergl. man Geſenius in d. allgem. Encycl. von Erſch u. Gruber B. XVI. S. 105.

CAPUT IV.

μαθήματα τὰ ἔξωθεν. Vergl. c. II i. f. (S. 34).

ἐξῆς ἂν εἴη λέγειν es möchte wohl an der Reihe ſein zu ſagen; *ἐξῆς* wird namentlich häufig bei Plato mit den Verben *εἶναι, γίγνεσθαι, διέρχεσθαι, περαίνειν, λέγειν* verbunden. Vergl. Ast lex. Plat. s. v. *ἐξῆς.*

